# 28 AUGUST
# PORFIRIE SIMONOPETRITUL

# PARACLISUL SF.IERARH-MUCENIC HRISOSTOM AL SMIRNEI

## PARACLISIER-GR


Ο ΑΓΙΟΣ
ΧΡΥΣΟΣΤΟΜΟΣ
Ο ΑΠΟ ΔΡΑΜΑΣ
ΣΜΥΡΝΗΣ

# Ιερά Παράκλησις
# προς τον Άγιον Χρυσόστομον
# τον Ιερομάρτυρα,
# Μητροπολίτην Σμύρνης

Ποίημα Πορφυρίου Μοναχού Σιμωνοπετρίτου

Ο Ιερεύς

**Ε**υλογητός ο Θεός ημών, πάντοτε, νυν και αεί και εις τους αιώνας των αιώνων.

Ο Αναγνώστης: Αμήν.

Ψαλμός ρμβ'(142)

Και ευθύς εξ εκατέρων των Χορών ψάλλονται τά κάτωθι εις ηχον δ΄

Θεός Κύριος και επέφανεν ημίν΄ ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.

Στίχος α.Εξομολογείσθε τω Κυρίω και επικαλείσθε το όνομα το άγιον αυτού.

Θεός Κύριος και επέφανεν ημίν ...

Στίχος β'. Πάντα τα έθνη εκύκλωσάν με και τω ονόματι Κυρίου ημυνάμην αυτούς.

Θεός Κύριος και επέφανεν ημίν ...

Στίχος γ'. Παρά Κυρίου εγένετο αύτη και έστι θαυμαστή εν οφθαλμοίς ημών.

Θεός Κύριος και ἐπέφανεν ἡμῖν ...

Είτα τα παρόντα Τροπάρια.Ήχος δ΄. Ο υψωθείς εν τω Σταυρώ

**Ε**ν κατανύξει, αδελφοί και εκ πόθου, προσπεφευγότες τη εικόνι προφρόνως, του ιεράρχου σπεύσωμεν κραυγάζοντες· ΆγιεΧρυσόστομε, Ιερότατε μάρτυς, σκέπασον ταις πτέρυξι της θερμής σου πρεσβείας, τους εκβοώντας, πάτερ, εκτενώς: ιερομάρτυς δεινών ημάς φύλαττε.

Δόξα Πατρί...

Το αυτό ήτο Απολυτίκιον του Αγίου του ναού

Και νυν...

---

Ου σιωπήσομέν ποτε, Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι· εί μη γαρ συ προΐστασο πρεσβεύουσα· τίς ημάς ερρύσατο εκ τοσούτων κινδύνων; τίς δε διεφύλαξεν έως νυν ελευθέρους; Ούκ αποστώμεν

Δέσποινα, εκ σου· σους γαρ δούλους σώζεις αεί εκ παντοίων δεινών.

*Ο* Αναγνώστης τον ψαλμόν ν' (50)

Είτα ψάλλομεν τον Κανόνα.

Κανών. Ήχος πλ. δ'. **Ωδή α.**Ύγράν διοδεύσας

**Σ**εμνύνομαι πάτερ, περί την σήν εικόνα χορεύων και εύχάς ικετευτικώς, προσφέρων, Χρυσόστομε θεόφρον, ιερομάρτυς Χριστού πανσεβάσμιε.

**Μ**αρτύρων στεφάνω σην κεφαλήν, κοσμήσας παμμάκαρ ώσπερ πρώην χριστοπρεπώς, εν μίτρα δικαίως εκοσμήθης, αρχιερέων, θυσία γενόμενος.

**Υ**πέγραψε πάλαι προφητικώς Δαβίδ, θεοφόρε, το σον τέλος θαυμαστικώς, τας σάρκας άγρίως των οσίων, σπαραττομένας προβλέπων, Χρυσόστομε.

Θεοτοκίον

**Ρ**υπούμενος, μήτερ, και πολέμων λογισμοίς ανάνδροις και δειλία καρτερικώς, ενίσχυσον τάχει τον σον δούλον, ίνα υύμνώ σε αεί, θεονύμφευτε.

**Ώδή γ'.** Ουρανίας άψΐδος

**Ν**εαρά ηλικία αρχιερεύς έννομος, εν Βασιλευούση εδείχθης, πάτερ Χρυσόστομε· όθεν καιγέγονας Δράμας επίσκοπος, μάκαρ, πάσαν κακοπάθειαν ποθών εν πνεύματι.

**Η**λλοιώθη τω πάθει και τοις δαρμοί ς, όσιε, κάλλος του προσώπου σου πάτερ· όθεν ένίσχυσον, τον αμαρτίαις νυν, αλλοιωθέντα παντοίαις, και άτόποις πράξεσι, πάτερ Χρυσόστομε.

**Σ**ελασφόρος ημνήμη της σης τιμής γέγονεν, ώσπερ πάτερ αύρα δροσίζουσα πάντα πρόσφυγα, πόθω προστρέχοντα τη πατρική σου πρεσβεία, προσκυνούντα χαίρων δε θεία είκόνι σου.

Θεοτοκίον

**Α**πελαύνεις, τα πάθη από των σών δούλων Παρθένε άχραντε· της Εκκλησίας γαρ, εγένου μήτηρ, δι' όπερ, προσβολάς αιρέσεων τάχει διάλυσον.

Ήχος β'. Πρεσβεία θερμή

**Π**ροστάτης θερμός πενήτων αναδέδειξαι, προσφύγων λιμήν και παίδων, πάτερ, στήριγμα, εν τη Σμύρνη πλούσιος, τοις χαρίσμασι δεικνύμενος, Χρυσόστομε, μαρτύρων, ιερών το έγκαλλώπισμα.

**Ὠδὴ δ'.** Είσακήκοα, Κύριε

**Ε**κκλησίαν εκόσμησας, Σμύρνης τη σφαγή σου, Χρυσόστομε, και ένίκησας τον τύραννον δαίμονα τω πάθει σου πανόλβιε.

**Τ**ροπαιούχος της χάριτος, πάτερ, επεφάνης, ο Σμύρνης πρόεδρος· την ψυχήν γαρ συν τω σώματι, θύμα τω ποιμνίω σου προσέφερες.

**Ο**υρανού τα υπερκόσμια, κάλλη θεωρών, θείε Χρυσόστομε, τοις οικέταις σου τοις κάμνουσιν, πάτερ, ανταπόδος σην παράκλησιν.

Θεοτοκίον

**Υ**περτέρα ως πέφυκας, μήτερ, γυναικών παρθένε πανάσπιλε, ο Χρυσόστομος ετράνωσεν, πάσαν γλωσσαλγίαν εκκρουόμενος.

**Ὠδὴ ε.**Φώτισον ημάς

**Δ**έομαι πυκνώς, ίνα τύχω παρακλήσεως και έκφύγω, πάτερ, του εχθρού, τας πανουργίας, τη πρεσβεία σου Χρυσόστομε.

**Ε**'ρχου προς ημάς, ώσπερ δρόσος
προς τουςκάμνοντας, απαντών προς τας δεήσεις των πιστών, αρχιερέων, νέον, πάτερ, έγκαλλώπισμα.

**Ο**'λος θεϊκός, των χειλέων σου, Χρυσόστομε, φαρμακείον, λόγος σωστικός, πόνων και πάσης, αναδέδεικται κακώσεως.

Θεοτοκίον

**Μ**έλαιναν, πικράν, την καρδίαν μου, πανάμωμε, εκ φρικτού του όφεως ιού, αύγασον φέγγει, νοητώ εκ του προσώπου σου.

**Ὠδὴ ς.** Την δέησιν

**Α**γάλλεται, πάς ο δήμος, άγιε, των προσφύγων γης της Ιωνίας, και θαυμαστώς τη είκόνι προσπίπτει, τη σή, παμμάκαρ Χρυσόστομε, ψάλλων σοι, βραβεία, ύμνους και ωδάς, ως στεφάνω κοσμών σε τρισόλβιε.

**Ι**άτρευσον, πολυπόθητε πάτερ, την καρδίαν μου αλγούσαν ταις βασάνοις, ίνα χαράς, επιτύχω μαρτύρων, υπομονή και ανδρεία στομούμενος, καικράζω σοι ως εκ ψυχής, ευχάριστους εύχάς αγαλλόμενος.

**Χ**αρίτωσον, παραμύθιον θείον, τας αλγούσας ψυχάς εκριζωθέντων, εκ πατρικής και προγόνων εστίας, άνευ αιτίας τω πάλαι, Χρυσόστομε· υπέρ εκείνων γαρ σφαγείς, καλλιστέφανος μάρτυς διέπρεψας.

Θεοτοκίον

**Ρ**ακένδυτος, κατασχίσας χιτώνα, του βαπτίσματος, Παρθένε, προσφεύγω, ίνα και νυν μελανείμων υπάρχων, καταυγασθώ διάνοια τοις δάκρυσιν, και σπίλους σβέσω των κακών, οις ερρύπωσα θείον μου ένδυμα.

**Κοντάκιον.** Ήχ. β'. Προστασία

Προστασία και σκέπη και σέμνωμα, των προσφύγων, Χρυσόστομε, γέγονας. Επί γής πλουσίως γαρ έβίωσας, και χαρίτων θησαυρός άνα-δέδειξαι. Όθεν και χάριν θαυμαστώς, ίεράρχου και μάρτυρος είληφας. Τάχυνον, θεοφόρε, παύσον τας αλγηδόνας, των επερχομένων δεινών, άγιε, κατά των δούλων σου.

Δίκαιος ώς φοίνιξ ανθήσει και ώσει κέδρος η εν τω Λιβάνω πληθυνθήσεται.

Στίχ. Τοις αγίοις τοις εν τη γή αυτούε έθαυμάστωσεν ο Κύριος.

Εκ του κατά Λουκάν (κεφ. ιβ', 8-12)

---

Είπεν ο Κύριος τοις εαυτού μαθηταίς· Πας ος αν ομολογήση εν εμοί έμπροσθεν των ανθρώπων, και ο Υιός του ανθρώπου ομολογήσει εν αυτώ έμπροσθεν των αγγέλων του Θεού. Ο δε αρνησάμενός με ενώπιον των ανθρώπων, απαρνηθήσεται ενώπιον των αγγέλων τουύ Θεού. Και πας ος ερεί λόγον εις τον Υίόν του ανθρώπου αφεθήσεται αύτώ· τω δε εις το Άγιον Πνεύμα βλασφημήσαντι ουκ αφεθήσεται. Όταν δε προσφέρωσιν υμάς επί τας συναγωγάς και τας αρχάς και τας εξουσίας, μη μεριμνάτε πώς ήτί απολογήσησθε ή τί είπητε· το γαρ 'Άγιον Πνεύμα

διδάξει υμάς εν αυτή τη ώρα α δει ειπείν.

Ήχ. πλ. β'. Όλην αποθεμένοι

**Μ**ίτρα πολυκόσμητος, αρχιερέως, παμμάκαρ, στέφος σοι έγένετο, μαρτυρίου πάγκαλον αλλ' άκάνθινον, ως προεφήτευσας, πάτερ, εν τη ώρα της χάριτος. Και αίμασι κατέβρεξας, Σμύρνης τας οδούς και επότισας, γην τής Ιωνίας, δι ο σύν Πολυκάρπω εκτενώς, και τω Βουκόλω πρεσβεύσατε, ευρείν ημάς έλεος.

**Ὠδὴ ζ.** Οἱ εκ της Ιουδαίας

**Υ**μνουμέν σου τον βίον, προβάλλομέν σε πρέσβυν, προς την Τριάδα θερμώς, Χρυσόστομε, μαρτύρων, συμπλήρωμα υπάρχεις, ιερέων δέ πρώτιστος, ο των πατέρων ημών, πατήρ τε και προστάτης.

**Σ**ιγών προσατενίζω, τη θεία σου είκόνι, και το πάθος λογίζομαι, πώς κατεσφάγης, πάτερ, αδίκως εξ απίστων, μηδ' άντιλέγων αύτοίς, τον πρωτομάρτυρα γάρ, Χριστόν, πάτερ έμνήσθης.

**Ο**μβρίων ως υδάτων, τα αίματά σου, πάτερ, της Ιωνίας την γην, κρουνοί δε των δακρύων, άρουραν γής καρδίας καταπιαίνουσι πάντοτε. Ο Χρυσοστόμου θεός, ελέησόν με Σώτερ.

Θεοτοκίο

**Σ**εσάλευται ο θρόνος, του νοητού θηρίου ότι ετέχθη Χριστός, εκ σου, Παρθενομήτορ, ώσπερ εν Παραδείσω, ευαγγέλιον δέδοται, εκ του ανάρχου Πατρός, μεθ' ου Υιός και Πνεύμα.

**Ὠδὴ η'.** Τον βασιλέα

**Τ**ου Πολυκάρπου, πολυκάρπως εδείχθης, της καθέδρας διάδοχος και θύτης, πάτερ, του Σωτήρος, Χρυσόστομε και θύμα.

**Ο**΄λη βοά σοι, της Ιωνίας ηχώρα, ίνα σκέπης γενεάς και γόνους, εν τή μητροπόλει, Χρυσόστομε, Ελλάδι.

**Μ**εμορφωμένον, τον Ιησούν εν καρδία, εκ νεότητος κατείχες, θεοφόρε, όθεν ιερούργεις δεήσεις ικετών σου.

Θεοτοκίον

---

Ο΄λη, Παρθένε, ωραϊσμένη τω θρόνω, παρεστώσα ως βασιλομήτωρ, δέχου τας δεήσεις προσφύγων και πενήτων.

**Ὠδὴ θ'.** Κυρίως Θεοτόκον

**Υ**πόμεινον, ψυχή μου, έλεγες, παμμάκαρ, εν προσευχή, πάσαν ύβριν και βάσανον, παρά βραχύ γαρ λαμβάνεις, νίκος και στέφανον.

**Π**ορφύρα σων αιμάτων, έβαψε χλαμύδα, δι' ης ενδέδυσαι, πάτερ, βα-σίλειον του άρχιποίμενος όντως, θύμα, Χρυσόστομε.

**Ρ**ωσθείς τη αναγνώσει, ρημάτων, θεοφόρε, δεσποτικών σοίς δακρύ-οις κατέβρεχες, την θείαν βίβλον, Χρυσόστομε όσιε.

Φρικτώς εβασανίσθης, λεπτοίς κατεμελίσθης, και τοις κυσί, πάτερ, βρώμα σε έρριψαν.
Αλλά αγγέλωντο πλήθος, ιδόν σε έφριξεν.
**Θ**εοτοκίο

**Σ**ωτήρα ως τεκούσα, μαρτύρων τας δεήσεις, υπέρ των τέκνων σου τούτω προσάγαγε, παρθενομήτορ, του κόσμου πέλλουσα πρέσβειρα.
Και ευθύς, το

**Α**'ξιον εστίν, ώς αληθώς, μακαρίζειν σε την Θεοτόκον, την άειμακάρι-στον και παναμώμητον και μητέρα του Θεού ημών.

**Τ**ην τιμιωτέραν των Χερουβείμ, και ένδοξοτέραν άσυγκρίτως των Σεραφείμ, την άδιαφθόρως Θεόν Λόγον τεκούσαν, την όντως Θεοτόκον σέ μεγαλύνομεν.

Και θυμιά ο Ιερεύς το Θυσιαστήριον και τον Ναόν, ήτον οίκον όπου ψάλλεται ηΠαράκλησις- και ημείς ψάλλομεν τα παρόντα Μεγαλυνάρια ·

**Σ**έβας και τιμήν σοι και προσφοράν, συν τω Πολυκάρπω και Βουκόλω αρχιερείς, τρεις

προσαναφέρει τω θρόνω του Δεσπότου ηγή της Ιωνίας, πάτερ Χρυσόστομε.

**Ι**'λεων άπέργασαι, αγαθέ, και υπέρ των άλλων, όσοι φόβω διστακτικώ, έπεσον μαχαίρα των αλλόπιστων τότε, τω θρόνω του Σωτήρος, πάτερ, δεόμενος.

**Μ**έσω των απίστων και δολερών, Χρυσόστομε, φέγγος, ανατέλλει θαυμαστικώς, ο θείος σου τρόπος και ο δρόμος, του μαρτυρίου δι' ου έστεφάνωσαι.

**Ω**ραίος έδείχθης επί της γής, καρπός, θεοφόρε, Ιωνίας γης, αγαθέ, και Σμύρνη χορεύει τη μνήμη σου τη θεία, αρτίως συσταθείση, θειε Χρυσόστομε.

**Ν**άματα αιμάτων σου δαψιλώς, κατήρδευσαν τότε, έκχυθέντα Σμύρνης την γήν, δεήσεων νυν δε προσευχαί σου, καταδροσίζουσι, πάτερ, τους κάμνοντας.

**Ό**σας, πάτερ, έφερες προσβολάς, εκ θηριογνώμων, αλλόπιστων όλαι λαμπρώς, νυν περικοσμούσι, αστράπτουσαι το στέφος, δι' ου κατε-κοσμήθης, μάρτυς Χρυσόστομε.

**Σ**πεύσον εν δεήσει ικετικώς, κράζω σοι και λέγω, ίνα σκέπης πάντα και νυν, ώσπερ εν τή Σμύρνη πενήτων σκέπη, πάτερ, υπήρχες, θεοφόρε θείε Χρυσόστομε.

**Π**άσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, Αποστόλων ηδωδεκάς, οι Άγιοι Πάντες μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν, εις το σωθήναι ημάς.

Είτα το Τρισάγιον και τα Τροπάρια ταύτα· Ήχ. β'. Ότε εκ του ξύλου

**Β**λέπεις νυν, Χρυσόστομε, καλώς, πάτερ, παραδείσου την δόξαν, όθεν τοις δούλοις σου, σπεύδε και εάφρυνον της εξορίας δεινά. Ένθες ούν την φρόνησιν τοις προσφυγούσι προς σέ, πλούσιος υπάρχων φρονήσει, μη εγκαταλίπης εις τέλος, όσοι το σον όνομα πόθω, νυν έπικαλούμεθα γηθόμενοι.

**Σ**πόρος ώσπερ, πάτερ, αγαθός, γη της Ιωνίας εέσπάρη το θείον αίμα σου, σάρκες δε αι τίμιαι ώσπερ θυμίαμα, τω Σωτήρι προσήχθησαν, τότε υπ' αγγέλου, Σμύρνην του φυλάσσοντος και Εκκλησίαν πιστών, όθεν πολυκόσμητος μάρτυς, και ιεραρχών ωραιότης, γέγονας, Χρυσόστομε, πανόλβιε.

Και γίνεται η Απόλυσις.